οὐχ ἧττον ἢ σύ· τοῦτο δ' εἰς διαλλαγὰς
ἄγει τάχιστα καὶ τὸν ὀργιλώτατον.
Πρότερον δ' ἔγωγε πάντ' ἂν ὑπομεῖναι δοκῶ
ἢ τοῦτο τί⟨τ⟩θην ἐν συνοικίᾳ τινὶ
........[ ].˙[
................ *imae p. 3 desunt 11* ................
P. 4 ........ *p. 4 summae 11 fere uersus* ............
(ΜΟ.) ].[
βο]ύλομαι
]....[.]...βοις
].ρ ἀθλιώτερον
.........]πάντων· οὐκ ἀπάγξομαι ταχύ;
........ῥ]ήτωρ μόνος γὰρ φιλόφρονος·
.........]ότερός εἰμ' ἔν γε τοῖς νυνὶ λόγοις·
τί δ' οὐκ ἀ]πελθὼν εἰς ἐρημίαν τινὰ
γυμν]άζομ'; Οὐ γὰρ μέτριος ἁγών ἐστί μοι. :

(ΔΗΜΕΑΣ)
Οὔ]κουν μεταβολῆς αἰσθάνεσθ' ἤδη τόπου;
Ὅσον διαφέρει ταῦτα τῶν ἐκεῖ κακῶν.
Πόντος· παχεῖς γέροντες, ἰχθῦς ἄφθονοι,
ἀηδία τις πραγμάτων· Βυζάντιον·
ἀψίνθιον, πικρὰ πάντ', Ἄπολλον. Ταῦτα δὲ
καθαρὰ πενήτων ἀγάθ'. Ἀθῆναι φίλταται,
πῶς ἂν [γ]ένοιθ' ὑμῖν ὅσων ἔστ' ἄξιαι,
ἵν' ὦμεν ἡμεῖς πάντα μακαριώτατοι
οἱ τὴν πόλιν φιλοῦντες; Εἴσω παράγετε
ὑμεῖς· ἀπόπληχθ', ἕστηκας ἐμβλέπων ἐμοί; :